# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΓΟΒΔΕΛΑΑ

ΠΕΡΣΟΥ ΤΟΥ ΠΟΛΥΑΘΛΟΥ

ΥΙΟΥ ΒΑΣΙΛΕΩΣ ΠΕΡΣΙΑΣ

**ΣΕΠΤΕΜΒΡΙΟΥ ΚΘ΄.**



## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν Στίχους δ΄, καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἀσίας τά πέρατα τήν σήν, νῦν ἐξᾄδει ἄθλησιν, Γοβδελαᾶ μυριόνικε· θαυματουργίαις γάρ, ἀμειβόμενός σε, ὁ Χριστός ἐδόξασε, βασάνους δι᾽ αὐτόν ὑπομείναντα, στέμμα καί θρόνον τε, καταλείψαντα ἠξίωσε, βασιλείας,οὐρανῶν Πολύαθλε.

Πανάριστε Μάρτυς τοῦ Χριστοῦ,ἐνεργεῖ πρεσβείᾳ σου, τήν νεκρωθεῖσαν τοῖς πάθεσι, ψυχήν μου ζώωσον· καί κατακειμένην, τάφῳ ἀπογνώσεως, διέγειρον πρός ὕμνον ἐπάξιον, τοῦ σέ δοξάσαντος, Γοβδελαᾶ καί στεφανώσαντος, τήν ἁγίαν,καί πάντιμον κάραν σου.

Τοῦ Παμβασιλέως Ἰησοῦ,στρατιώτης ἄριστος, Γοβδελαᾶ ἐχρημάτισας· πᾶσαν ἰδέαν γάρ, ὑποστάς βασάνων, δι᾽ αὐτόν περίδοξε,ἡλιακήν λατρείαν κατήργησας, Σταυροῦ τῇ χάριτι· καί πυρός τό σέβας ἔσβεσας, τῇ πλημμύρᾳ, μάκαρ τῶν αἱμάτων σου.

Διψῶν τό ποτήριον πιεῖν, τοῦ Χριστοῦ μυρίαθλε, τήν πατρικήν δεισιδαίμονα, πλάνην κατέπτυσας· Δάδα δέ ἐνδόξου, ῥήμασιν ἑπόμενος, δι᾽ αἰκισμῶν μυρίων ἠξίωσαι, Γοβδελαᾶ θείας,θυμηδίας τοῦ Δεσπότου σου· διό εὔχου, ὑπέρ τῶν τιμώντων σε.

Δόξα. Ἦχος πλ. β΄.

Ἀνυμνῆσαι ἀξίως τά σά γενναῖα παλαίσματα, οὐκ ἰσχύω συνεχόμενος ὑπό πταισμάτων πολλῶν· διό Γοβδελαᾶ σοί τῷ πολυάθλῳ βοῶ, ἵνα αἴρῃς ὄμμα τῆς δεήσεως πρός Κύριον, δοῦναί μοι τήν ἄφεσιν,καί οὕτως ἀνανήψας κράξω·Δόξα τῷ δόντι σοι τοιαύτην ἰσχύν, νικῆσαι τοῦ σοῦ πατρός δεινάς μηχανουργίας καί τιμωρίας, δι᾽ ὧν τήν χάριν εἴληφας ἐκ Θεοῦ, ᾧ πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον. Τίς μή μακαρίσει σε...

'Απόστιχα.

Ἦχος β'. Οἶκος τοῦ 'Εφραθᾶ.

Δεῦτε πιστῶν βροτῶν, τά πλήθη συνελθόντα, Γοβδελαᾶν τόν μέγαν, έκ πόθου εύφημήσωμεν.

Στίχ. Θαυμαστός ὁ Θεός έν τοῖς 'Αγίοις αὐτοῦ.

Γόνος βασιλικοῦ,σύ οἴκου χρηματίσας, Γοβδελαᾶ παμμάκαρ, τοῖς ἄθλοις νῦν μετέστης, είς ούρανῶν βασίλεια.

Στίχ. Τοῖς 'Αγίοις τοῖς έν τῇ γῇ αὐτοῦ
έθαυμάστωσεν ὁ Κύριος.

Χαίροις Γοβδελαᾶ, ἡ δόξα τῆς Περσίας, καύχημα τῶν 'Ανάκτων, ταμεῖον ίαμάτων, καί τῶν θαυμάτων πέλαγος.

Δόξα Πατρί. Τριαδικόν.

Πανένδοξε Τριάς, πρεσβείαις τῶν Μαρτύρων, Δάδα Γοβδελαᾶ τε, Κασδόου καί Κασδόας, έλέησον τούς δούλους σου.

Καί νῦν. Θεοτοκίον.

'Ανάκτων Βασιλίς, σύν τῷ Βασιλογόνῳ, Γοβδελαᾶ δυσώπει, σούς δούλους βασιλεύειν, Παμβασιλεῖ τῷ σῷ Υἱῷ.

Τό, Νῦν άπολύεις, τό Τρισάγιον, καί τό
'Απολυτίκιον.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

'Εξεμάνη ὁ δεινός, Περσῶν άκούσας βασιλεύς, άστρολάτρις Γοβδελαᾶ, ὁμολογίαν σός πατήρ, ὁ Σαβώριος καί ἔκραζε τοῖς Δημίοις· Μαστίζετε σκληρῶς, κατατέμνοντες, τά μέλη πάντ' αὐτοῦ κατακαίοντες. Ξύλῳ αὐτόν σταυρώσατε, καί έκδάρατε κεφαλήν ἕως όνύχων ποδῶν. Σύ δέ έβόας· Χριστόν πιστεύω, Ποιητήν ἄστρων Περσίας θεῶν.

Καί 'Απόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν, τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν Στίχους η΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἀσματικῶς συνελθόντες πιστοί τιμήσωμεν, τόν τοῦ Χριστοῦ ὁπλίτην, καί στεῤῥόν στρατιώτην, Γοβδελαᾶν τόν θεῖον, καί πρός αὐτόν, ἀνακράξωμεν λέγοντες· Μή διαλίπῃς πρεσβεύειν ὑπέρ ἡμῶν, τῶν τιμώντων σου τήν ἄθλησιν.

Εὐφραίνου τέρπου ἡ πόλις Περσῶν καί σκίρτησον· ἐκ σοῦ γάρ ἀνεφύη, Γοβδελαᾶς ὁ Μάρτυς, πανεύοσμον ὡς κρίνον, πάντας πιστούς, ἡδυπνόοις παθήμασιν, εὐωδιάζων καί πάθη φθοροποιά, ἀπελαύνων θείᾳ χάριτι.

Ἀνατολῆς ἀφ᾽ἡλίου ἐξανατείλαντες, Γοβδελαᾶς καί Δάδας, σύν Κασδόᾳ τῇ θείᾳ, ἐνήθλησαν νομίμως, διά Χριστόν, τόν ἀνέσπερον Ἥλιον, θεοφεγγεῖς ὡς λαμπτῆρες πᾶσαν τήν γῆν, φρυκτωροῦντες ἐν τοῖς θαύμασι.

Ῥήξας τούς βρόχους τῆς πλάνης Χριστῷ προσέδραμες, κραταιωθείς παμμάκαρ, τοῦ Σταυροῦ τῇ δυνάμει, καί ὥσπερ ὁ ἀνδρεῖος, πάλαι Σαμψών, τῷ μοχλῷ τῆς ἀθλήσεως, τούς νοητούς ἀλλοφύλους καταβαλών, κατεστέφθης ὡς ἀήττητος.

Ὁ λυμεών σός γεννήτωρ καί δυσμενέστατος, ἀνηλεῶς μαστίζειν, σέ τόν γνήσιον παῖδα, παρώτρυνε δημίους, ἐκ τοῦ Χριστοῦ, ἕως ἄν ἀποτέμωσι· σύ δέ στεῤῥός ὡς ἀδάμας πλήξας αὐτούς, Γοβδελαᾶ ὤφθης ἄτμητος.

Οὔτ' ἀνυποίστων βασάνων δριμεῖαι μάστιγες, ούτ' ἀλγειναί κεντήσεις, φλογερῶν ὀβελίσκων, ἀλλ' οὔτε τῶν ὀνύχων, οἱ σπαραγμοί,καί ὀδόντων ἐκρίζωσις, τῆς τοῦ Κυρίου ἀγάπης Γοβδελαᾶ, σέ χωρίσαι ἠδυνήθησαν.

Ὥριμος βότρυς ἐδείχθης Μάρτυς ἀήττητε, ἐν τοῖς ληνοῖς τοῦ θείου,καί σεπτοῦ μαρτυρίου, τόν οἶνον εὐφροσύνης, πᾶσι διδούς, τοῖς πιστῶς προσπελάζουσι,μέθην παθῶν ἐκδιώκων καί ψυχικήν, εὐρωστίαν παρεχόμενος.

Τῆς τῶν Ἀγγέλων ἀλήκτου χαρᾶς ἠξίωσαι,Γοβδελαᾶ τρισμάκαρ, τούς τυράννους αἰσχύνας, καί δίκην ἀραχναίου, ἱστοῦ αὐτῶν, κακουργίας διέλυσας, καί τοῖς ὡραίοις ποσί σου καταβαλών, νίκης στέφανον ἀπείληφας.

Δόξα. Ἦχος δ'.

Τοῦ πανιερωτάτου Χορτακίου Φιλαδελφείας.

Τόν τῶν ἀστέρων λάτρην καταλιπών υἱοκτόνον ἄνακτα, λατρεύειν Παντάνακτι Θεῷ ἐπέγνως καρτερόψυχε· ἀντί στέμματος χρυσοῦ, δόξαν ἐπιπόθησας τήν ἄληκτον· ἀντί πορφύρας, αἱμάτων μαρτυρικῶν ἠμφιάσω ἱμάτιον· καί ἀντί σκήπτρου,τόν Σταυρόν τοῦ Χριστοῦ εἰς χεῖρας ἀναλαβών,ἀστρικῆς τερθρείας τό μάταιον ἐβδελύξω, πολύαθλε Γοβδελαᾶ.Μαρτύρων κοσμῆτορ, καί βασιλείας οὐρανῶν ἐφευρετά ἀξιάγαστε, λιτανεύων μή παύσῃ ὑπέρ ἡμῶν, τῶν πιστῶς σοι βοώντων· Φύλαξον ἡμᾶς ταῖς πρεσβείαις σου Ἅγιε.

**Καί νῦν. Θεοτοκίον. Τίς μή μακαρίσει σε...**

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

Ἦχος α΄.

Φῶς νοερόν τοῦ ἀνεσπέρου ἡλίου Χριστοῦ, ἐν διανοίᾳ σου μάκαρ λαβών Γοβδελαᾶ ἀοίδιμε, τήν κεχυμένην σκοτόμαιναν τῆς ἡλιακῆς καί πυρσολάτρου θρησκείας ἀθρόως ἐξέκλινας, ἀλλοιωθείς θείᾳ χάριτι· ὅθεν πόθῳ διακαεῖ πρός πάντα τά εἴδη τῶν βασάνων χωρῶν, ὡς εὐσταλής σταδιοδρόμος, τῷ ὄρει τοῦ μαρτυρίου προσεπέβης, ἀνενεχθείς εἰς ἀκρώρειαν, καί τῶν ἀγώνων τά γέρα κομισάμενος, πρεσβεύεις ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ἐν μέν τῇ ἀθλήσει σου, Πολύτλα πανεύφημε, ἐπληρώθη σαφῶς ἡ εὐαγγελική πρόῤῥησις τοῦ Κυρίου ἡ λέγουσα· Παραδώσει πατήρ τέκνον εἰς θάνατον· λυττήσας γάρ ποτε ὁ δυσσεβής σός γεννήτωρ, πολυτρόπῳ κολάσει σε καθυπέβαλεν, ἕνεκεν Χριστοῦ τοῦ ὑπέρ ἡμῶν ἑκουσίως ἀχθέντος εἰς θάνατον· ὅν ὡς Κτίστην πάντων, καί Θεόν γνωρίσας, ἀπλέτῳ πόθῳ ἡνώθης αὐτῷ· ὡς ἑνωθείς δέ συνέπαθες, καί ὡς παθών δι' αὐτόν συνδεδόξασαι, αἰτούμενος ἱλασμόν ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος γ΄.

Τόν λίαν ἐν γῇ ποτε ὑψηλόν, λαμπρόν τε περιουσίᾳ γένει καί δυναστείᾳ, διά δέ Χριστόν ταῦτα ὡς ἐπίκηρα παρωσάμενον, καί τοῖς ἐπουρανίοις, ὡς ἀφθάρτοις ἀνταλλαξάμενον, Γοβδελαᾶν τόν εὐσθενῆ ἀριστέα, οἱ πιστοί μακαρίσωμεν· θείῳ γάρ ὑπερζέσας πυρί, θανάτῳ πολυωδύνῳ ἑαυτόν καθυπέβαλεν, ἵνα τῆς αἰωνίου ἀπολαύσεως τύχῃ· ἥν κληρωσάμενος συνδιαιωνίζει Θεῷ, ὑπέρ ἡμῶν αὐτόν ἱλεούμενος, τοῦ λυτρωθῆναι ἡμᾶς τούς τιμῶντας αὐτόν τῆς αἰωνίου κολάσεως.

Ἦχος πλ. δ΄.

Τίς λαλήσει τάς ἀριστείας σου στεῤῥέ; ἤ τίς ἐξαριθμήσει τῶν ἀγώνων σου τά πλήθη; πολλά καί ὑπέρ φύσιν ὥσπερ ἄσαρκος ὑπήνεγκας, πλείονα τά βραβεῖα ἀσυγκρίτως ἐκομίσω, ἐκ τῆς ἀνακτορικῆς δεξιᾶς, Ἰησοῦ τοῦ Θεανθρώπου Παντοκράτορος, Γοβδελαᾶ τρισόλβιε· οὐ μόνον γάρ τῶν ζωηῤῥύτων Παθημάτων αὐτοῦ, κοινωνός ἠξιώθης γενέσθαι, ἀλλά καί τῆς ἀφθάρτου δόξης ὡς μάρτυς ἀξιοθαύμαστος.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε πιστῶν ἡ ὁμήγυρις, νοῦν τε καί καρδίας καθάρωμεν, δεῦτε αἶνον ᾄσωμεν τῷ στεφοδότῃ Βασιλεῖ, ἐπί τῇ πολυωδύνῳ σφαγῇ Γοβδελαᾶ τοῦ εὐκλεοῦς· σήμερον γάρ ἡ τῶν πραέων γῆ τοῦτον δέχεται, ὡς μιμητήν τοῦ σωτηρίου Πάθους, καί τῶν ἀγώνων τό πλῆθος τό ἄπειρον εὐλαβουμένη, τῷ νικοποιῷ Θεῷ δόξαν ἀπονέμει· Ἄγγελοι λευχειμονοῦντες σύν Ἀθλοφόροις, περιχαρῶς εὐφημοῦσι τόν τεμόντα τάς ἐπινοίας Περσῶν· πάντες οὖν προσείπωμεν αὐτῷ δεόμενοι· Εὐσεβῶν θείαν ἄθροισιν, Ἅγιε περιφύλαττε, τήν ἐκ πόθου τιμῶσαν τήν φωτοφόρον σου ἄθλησιν.

Καί νῦν. Θεοτοκίον.

Ναός καί πύλη ὑπάρχεις, παλάτιον καί θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε· δι᾽ ἧς ὁ Λυτρωτής μου Χριστός ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὕς ἔπλασε, κατ᾽ εἰκόνα ἰδίαν, χειρί τῇ ἑαυτοῦ· διό Πανύμνητε, ὡς μητρικήν παῤῥησίαν πρός αὐτόν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τάς ψυχάς ἡμῶν.

Είς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῆς Περσίας πυρσός, πυρολατρῶν Περσῶν θρησκείας κατήγορος, ἀνδρεῖε Μεγαλομάρτυς, πλάνης πυρίπνους πρηστήρ, καί Τριάδος πίστεως λάτρης ἔνθερμος· καί ᾧ ἐκ Πατρίδος σου, βασιλεῖς Μάγοι πάνσοφοι, ὡς Βασιλέα, Βηθλεέμ προσεκύνησαν, προσκομίζοντες,χρυσόν σμύρναν καί λίβανον, Μάρτυς σύ τό βασίλειον,Περσίας καί ἀδελφήν, ζωήν καί αἱμά σου δῶρα, ὑπέρ τούς Μάγους προσήγαγες, Γοβδελαᾶ τῷ Θεῷ σου, ὅν δυσώπει πᾶσι δοῦναι, τό μέγα ἔλεος.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ῥεῖθρον τό ἐρυθραῖον σοφέ, τῶν σῶν αἱμάτων πανστρατί φρυαττόμενος, εἰσδύσας κατεποντίσθη, ὁ νοητός Φαραώ, ὁ καταδιώκων σε Πολύαθλε· σύ δέ διεσώθης,είς γῆν ἀπάρας ἀείζωον, ἐπαγγελίας, τήν πηγήν τήν ἀθάνατον, κληρωσάμενος, τῆς ἀπείρου Θεότητος, μέλπων ὕμνον τρισάγιον,ὅν μέλπουσιν Ἄγγελοι, σύν μυριάσι ταγμάτων, τῶν πρωτοτόκων Γοβδελαᾶ, Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ,<br>ἐθαυμάστωσεν ὁ Κύριος.

Λαῖλαψ καί καταιγίς πειρασμῶν, καί τῶν βασάνων τῶν ἀπείρων οἱ χείμαῤῥοι, οἰκίαν τήν τῆς ψυχῆς σου, καταλαβόντες σφοδρῶς,καταῤῥίψαι Μάρτυς οὐ κατίσχυσαν· αὐτήν γάρ ἐστήριξας, ἐπί πέτραν ἀσάλευτον, πίστεως θείας, καί είς Λίθον ἀκρόγωνον,καί πανέντιμον, φωτισθείς θείῳ Πνεύματι· ὅθεν καί καταγώγιον,λαμπρότατον γέγονας, τῆς Ὑπερθέου Τριάδος, Γοβδελαᾶ γενναιότατε· διό μή ἐλλίπῃς, ἱκετεύειν τοῦ σωθῆναι, τούς ἀνυμνοῦντάς σε.

Δόξα. Ἦχος πλ. δ΄.

Τήν πατρικήν κληρουχίαν ἀφαιρεθείς, τήν θεϊκήν ἀπείληφας βασιλείαν, Μάρτυς Γοβδελαᾶ· διό καί πρός τόν τύραννον σόν πατέρα, τοῖς αἵμασι περιῤῥεόμενος, ἀνδρειοφρόνως οὕτως ἐβόας· Εἰ καί κλῆρον οὐκ ἔχω πλέον ἐν σοί, ἀλλ' ἔχω κλῆρον τόν οὐρανόν. Χριστός ἐστί μου Πατήρ,καί σέ ὡς ἀντίθεον ἀπαρνοῦμαι πατέρα· ζωή μοι Χριστός, καί τόν ὑπό σοῦ θάνατον οὐ φρίττω· Θεός γάρ μοι Χριστός, κἀγώ χαίρων αὐτῷ θῦμα τήν ψυχήν μου προσφέρω· τρυφή μοι Χριστός, καί τῶν κολαστηρίων σου τῶν ἀμέτρων οὐκ αἰσθάνομαι· φῶς μοι Χριστός, καί οὐ σκοτίζομαι· ὁδός μοι αὐτός,καί οὐ πλανῶμαι· σύ δημίους ἔχεις κρεουργοῦντάς με, ἀλλά Χριστός μοι πάρεστι μετ' Ἀγγέλων θεραπεύων με· ἡ σή δύναμις ἐν προστάγμασιν ἀσθενεῖ, κἀμοῦ δέ ἡ ἀσθένεια ἐν ταῖς βασάνοις ἐνδυναμοῦται, παρά Χριστοῦ τοῦ παρέχοντος πιστοῖς τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον. Δέσποινα πρόσδεξαι...

Τό, Νῦν ἀπολύεις, τό Τρισάγιον καί τό

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τόν πολύαθλον Μάρτυρα,καί ἀκμαῖον ἀδάμαντα, τόν καρτερικόν στρατιώτην,ἀνευφημήσωμεν, Γοβδελαᾶν τόν πανένδοξον· ἐκήρυξε Χαλδαίοις γάρ Χριστόν, αἰκίας δριμυτάτας ἐνεγκών, νικητής τροπαιοφόρος γενόμενος· διό πίστει βοήσωμεν·Δόξα τῷ δυναμώσαντι αὐτόν· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐν μεγίστοις Μάρτυσι συναριθμήσαντι.

Δόξα. Τό αὐτό.

Καί νῦν. Θεοτοκίον. Τοῦ Γαβριήλ φθεγξαμένου σοι...

<u>Καί Ἀπόλυσις.</u>

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν, Καθίσματα.

Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Ὢ θαῦμα φοβερόν, καί παράδοξον τέρας! πῶς ἔφερε πληγάς, ἀνεικάστους ὁ Μάρτυς· καί πάσχων ἐκραύγαζε, Γοβδελαᾶς πρός τόν τυράννον· Οὐ χωρίζομαι, τῆς τοῦ Χριστοῦ μου ἀγάπης, οὗπερ σέβομαι, Σταυρόν καί τίμια Πάθη· δι' ὧν κόσμος σώζεται.

Δόξα. Ὅμοιον.

Θεόν ἐπί τῆς γῆς, σταυρωθέντα βουλήσει, ἐπέγνως Γοβδελαᾶ, γενναιόφρον παμμάκαρ, καί τούτῳ ἠκολούθησας, μέχρις αἵματος Ἅγιε· ὅθεν ἤνεγκας, τῶν σῶν μελῶν πυρακτώσεις, ἀγαλλόμενος, ἑστώς ἐν μέσῳ καμίνου, Σταυρῷ τειχιζόμενος.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τό μέγα τῶν πιστῶν, καί ἀπόρθητον τεῖχος, τήν τῶν ἁμαρτωλῶν, κραταιάν προστασίαν, τό ἄσυλον φρούριον, καί στεῤῥόν καταφύγιον, ἱκετεύω σε, Θεογεννήτρια Κόρη, σύ μου πρόστηθι, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, καί σῶσόν με Δέσποινα.

Μετά τήν β΄ Στιχολογίαν, Καθίσματα.

Ἦχος γ΄. Θείας πίστεως.

Ἀκμαιότατος ἀδάμας ὤφθης, ὥσπερ ἄσαρκος ἐγκαρτερήσας, τάς ἀφορήτους ἀλγηδόνας τῶν κολάσεων· καταλιπών γάρ πατέρα τόν ἄνακτα, υἱοθετήθης Χριστῷ τῷ Παντάνακτι, Μάρτυς ἔνδοξε, Γοβδελαᾶ ᾧ καί πρέσβευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Δόξα. Ἕτερον.

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὡς στρατιώτης τοῦ Χριστοῦ ἀκατάπληκτος, καί τροπαιοῦχος ἀληθής καί ἀήττητος,τῶν Ἀθλητῶν τό καύχημα, στεῤῥέ Γοβδελαᾶ, στέφος τό ἀμάραντον, οὐρανόθεν ἐκτήσω, χαίρων σύν Ἀγγέλοις τε, καί χορεύων ἀπαύστως. Ταῖς σαῖς πρεσβείαις σῶζε τούς πιστῶς, ἀνευφημοῦντας, τήν θείαν σου ἄθλησιν.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τά πλήθη, καί τῶν ἀτόπων ἐννοιῶν τάς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται Πανάμωμε; τάς ἐπαναστάσεις δέ, τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καί τήν τούτων κακίαν; ἀλλά τῇ σῇ πρεσβείᾳ Ἀγαθή, τούτων μοι πάντων τήν λύτρωσιν δώρησαι.

Μετά τόν Πολυέλεον, Καθίσματα.

Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Τόν ὁπλίτην Κυρίου τόν ὑπερθαύμαστον, ἐκ Περσίας ὀφθέντα ὡς ἄστρον ἔκλαμπρον,τόν ποικίλους πειρασμούς ὑπομείναντα, Γοβδελαᾶν οἱ πιστοί, ὑμνολογοῦντες εὐσεβῶς, δοξάσωμεν κατά χρέος. Πρεσβεύει γάρ τῷ Κυρίῳ, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Δόξα. Ἕτερον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τοῦ Σταυροῦ τήν δύναμιν, ἰδών σβεσθείσης καμίνου, τούς γονεῖς θρησκείαν τε,Περσῶν καί στέμμα ἠρνήσω· γέγονας,Ἀγγέλων θαῦμα στεῤῥῶς ἀθλήσας· δέδειξαι,Δαιμόνων τραῦμα πάθη νικήσας· καί Χριστῷ υἱοθετήθης, καί ἐδοξάσθης, Μάρτυς πανθαύμαστε.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐν καιρῷ ἐξόδου μου, μή ἀποστῇς μου Παρθένε· τήν ψυχήν μου τότε γάρ, οἱ πονηροί ἐκζητοῦσιν· οἴμοι πῶς, ἐκφύγω τούτους καί τί ποιήσω· οἴμοι πῶς, φρικώδεις τόπους διαπεράσω· Σύ ἐλπίς μου, σύ λιμήν μου, καί σοί προσφεύγω, ὁ σός ἱκέτης Ἁγνή.

Οἱ Ἀναβαθμοί, τό α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Τό, Πᾶσα πνοή... Εὐαγγέλιον. Ἐκ τοῦ κατά Λουκᾶν.

Εἶπεν ὁ Κύριος· Πᾶς ὅς ἄν ὁμολογήσῃ...

(Ζήτει τῇ ς΄ Νοεμβρίου).

Ὁ Ν΄ Ψαλμός. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Ἰδιόμελον. Ἦχος β΄.

Ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καί ἡ ἄληκτος χαρά καί ἀνέκφραστος ἡδονή τῶν καθορόντων τοῦ Θεοῦ τό κάλλος τό ἄρρητον, ὅπου τῶν Ἀγγέλων δῆμοι καί Ἁγίων ὑπάρχουσι, συνηριθμήθη τό πνεῦμά σου, ἀξιομακάριστε Γοβδελαᾶ· τῶν γάρ Περσῶν τό πρόσταγμα καί τόν φόβον γενναίως κατέπτυσας, τό σῶμά σου δούς ὑπέρ ἀγάπης τοῦ Κτίστου σου, ὅλον μεληδόν κατατέμνεσθαι· ὡς οὖν ἔχων παῤῥησίαν Ἅγιε, πρόφθασον ἐξελοῦ ἡμᾶς τούς προσκαλουμένους σε, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...

Κανών Πρῶτος.

Ποίημα Ἐμμανουήλ Τζάνε Ἱερέως.

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἄναρχε Λόγε χαρακτήρ ἀΐδιε, τοῦ ἀθανάτου Πατρός, τά σκοτεινά νέφη, τῆς ψυχῆς μου δίωξον, τῷ συμφυεῖ σου Πνεύματι, καταυγάσας τόν νοῦν μου, φαιδρῶς ὑμνῆσαι σόν Μάρτυρα, τόν Γοβδελαᾶν ὅν ἐδόξασας.

Πάθη τά θεῖα τοῦ σαρκί πτωχεύσαντος, ἀνακηρύξας τρανῶς, ὁ εὐκλεής Δάδας, ἐν καμίνῳ βέβληται, Γοβδελαᾶ ἀλλ' ἄφλεκτος, παραδόξως ἐξῆλθε, Σταυροῦ ἀγκίστρῳ ζωγρήσας σε, πλάνης ἐξελών πρός εὐσέβειαν.

Πνεῦμα Κυρίου μάκαρ σέ ὡδήγησεν, ἐν τῇ καμίνῳ ἐλθεῖν, συνετίζοντά σε, τοῦ ἐπικαλέσασθαι, Χριστοῦ τό θεῖον ὄνομα, καί τό πῦρ δέ σβεσθῆναι, Γοβδελαᾶ σέ ἐνήργησε, βαίνειν εὐθαρσῶς πρός τήν ἄθλησιν.

Τέμνετε χεῖρας ἀφειδῶς καί πόδας μου, καί λοιπά μέλη πικρῶς, κατακρεουργοῦντες, ῥητορεύων Γοβδελαᾶ, τῷ Ἀνδραμέλεχ ἔλεγες· Ἐγώ γάρ οὐ λατρεύσω, πυρί ἐνύλῳ ἀλλ' ἄϋλον, Σέλας παντουργόν καί τρισήλιον.

Ὁ προειδώς τό εὐγενές Γοβδελαᾶ, τῆς σῆς ψυχῆς ὡς Θεός, Περσικῆς σε πλάνης, ἀφαρπάσας ἔδειξε, τῆς εὐσεβείας πρόμαχον, Ἀθλητήν τροπαιοῦχον, πικραῖς βασάνοις ἀνάλωτον, καί στεφανηφόρον ὑπέρλαμπρον.

Θεοτοκίον.

Ἄφθορον Νύμφην καί Θεοῦ γεννήτριαν, ἐν ἀδιστάκτῳ ψυχῇ, οἱ εὐσεβεῖς πάντες, σέ τήν Μητροπάρθενον, πίστει καί πόθῳ ᾄδωμεν· διά σοῦ γάρ ἡ φύσις, ἡμῶν ἡ πάλαι ἐξόριστος, θρόνῳ Πατρικῷ ἐγκαθίδρυται.

'Ωδή γ΄. 'Ο στερεώσας κατ' άρχάς.

Γενναιοτάτῳ λογισμῷ,καί ψυχικῇ διαθέσει, τοῦ πατρός καταπατήσας τό σέβας, καθυπήνεγκας σφαγήν, ὑπέρ Χριστοῦ Γοβδελαᾶ, τέκνον τε οὐρανίου, Πατρός Παντάνακτος γέγονας.

'Ανηλεῶς οἱ ἀπηνεῖς,ἔτυπτον σέ τοῖς βουνεύροις, προσταγῇ τοῦ λυμεῶνος Τυράννου, σύ δ'ὑπέστης καρτερῶς, Γοβδελαᾶ εὐχόμενος· Ἄγγελον γάρ ἑώρας, θεόθεν σέ ἐνισχύοντα.

Δίφρῳ ἐπέβης φλογερῷ, Γοβδελαᾶ τροπαιοῦχε, ἀνιών πρός τόν νυμφῶνα καί φέρων, ἀντί σκήπτρου τόν Σταυρόν, καί ὡς πορφύραν αἵμασιν,ἠμφιεσμένος μάκαρ, συμβασιλεύεις τῷ Κτίστῃ σου.

Θεοτοκίον.

Νομοθεσίαις τοῦ ἐκ σοῦ,σεσαρκωμένου Δεσπότου, πειθαρχήσας Παναμώμητε Κόρη, ὁ κλεινός Γοβδελαᾶς, ἀνόμους ἐτροπώσατο, σέ συνεργάτιν ἔχων, τήν ἐνισχύουσαν Μάρτυρας.

Κάθισμα.

Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

'Αδιστάκτῳ τῇ πίστει Γοβδελαᾶ,τῶν τυράννων τά θράση καταβαλών, γενναίως νενίκηκας, τόν ἀρχέκακον Δράκοντα, ὑπενεγκών μυρίας, αἰκίας στεῤῥότατα, ὑπομονῆς τε ὤφθης, θεότευκτον ἄγαλμα· ὅθεν τῶν βασάνων,ἀμοιβήν ἐκομίσω, τήν χάριν τοῦ Πνεύματος,ἰατρεύειν νοσήματα. Διό πίστει κραυγάζω σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῆς ψυχῆς μου τά πάθη ἰάσασθαι, τάς σάς φρικτάς ἀλγηδόνας, προτιθείς ἀντίλυτρον.

Δόξα. Ὅμοιον.

'Ο μολύνας τήν σάρκα καί τήν ψυχήν, ἐξ ἀμέτρων πταισμάτων ὁ ἄφρων ἐγώ,καί βάπτισμα ἅγιον, ὅπερ ἔλαβον Ἅγιε, ἐντολῶν τοῦ Κυρίου, ἀπέστην θελήματι, καί ἐλευθερίας, καταχράνας τό δῶρον,ἀχρεῖος καθέστηκα· ὅθεν δυσωπῶ σε,καλλονή τῶν Μαρτύρων,καί πίστει κραυγάζω σοι,δωρηθῆναί μοι φρόνησιν,τοῦ μή πράττειν τά βλάπτοντα, τήν ψυχήν μου Γοβδελαᾶ, ἀλλά πορεύεσθαι ἴχνη τά φέροντα, Παραδείσου ἐντός,καί σύν 'Αγγέλοις χορεύειν ἀεί.

Καί νῦν. Θεοτοκίον.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κλῖνον Μῆτερ Μαριάμ, κλῖνον τό οὖς σου εὐμενῶς, καί ἐπάκουσον ἡμῶν, τῶν δεομένων ἐκτενῶς· καί ὡς οἰκτίρμων, μή λίπῃς τοῦ προστατεύειν, τά τέκνα ἅ ὁ σός, Υἱός καί πάντων Θεός, σοί δέδωκεν Ἁγνή, εἰς σωτηρίαν ἡμῶν, καί τάς παγίδας λύειν τοῦ διαβόλου,καί χάριν νέμειν τοῖς δούλοις σου· εἰς σέ γάρ πᾶσαν, τήν προσδοκίαν, καί ἐλπίδα τιθέμεθα.

Ὠδή δ΄. Σύ μού ἰσχύς, Κύριε.

Πυρολατρεῖν,ὕδατι ἄστροις ἡλίῳ τε, αἰκισμοῖς σε, Μάρτυς κατηνάγκαζεν, ὁ σός πατήρ ταῦτά σοι βοῶν· Σύ μέν ζῇς ἐν τούτοις, καί δίχα τούτων νενέκρωσαι· Τί οὖν ἀνοηταίνεις, προσκυνῶν ὡς Δεσπότην, τόν θανάτῳ λῃσταῖς συγκατάκριτον.

Ὕδωρ καί πῦρ, ἔλεγες μάκαρ τρεπτά εἰσι, καί φωστῆρες, ἀλλοιοῦνται Τύραννε, καί οὐ θεοί, μόνος δέ Χριστός, ἄτρεπτος ὑπάρχει, Θεός τε καί ἀναλλοίωτος· εἰ γάρ καί ἐσταυρώθη, τῇ σαρκί ἀλλ᾽ ἀνέστη, ὡς Θεός διαμένων ἀθάνατος.

Ὡσεί κωφός,ἔκλεισεν ὦτα ὁ Τύραννος, ὡς μή φέρων, λόγων σου τήν σάλπιγγα, λεοντιαίᾳ κράξας φωνῇ,τῷ Γαργάλῳ μάκαρ, βιαίως τοῦ ἀποκτεῖναί σε, βοῶν· Γοβδελαᾶ γνώθει, οὐχ υἱέ ἀλλ᾽ ἀντάρτα, εἰ ἰσχύῃ Χριστός σέ ζωώσασθαι.

Ἐξ ἀφεγγοῦς, πλάνης ἀστρῴας ἀνέκυψας, καί ἡλίου, μᾶλλον περιήστραψας, μαρτυρικῷ αἵματι λουσθείς, κἀμέ ἐκ τῶν ἔργων, τοῦ σκότους Γοβδελαᾶ ῥῦσαι, εὐχαῖς σου καί ἐν ὥρᾳ, τῆς φρικτῆς καταδίκης, πρόστηθί μοι Θεόν ἱλεούμενος.

Ἡ βασιλίς,καί θεία πρόνοια ἔνδοξε, σέ ἐκ ῥίζης,βασιλέων εἴληφε, καί ὥσπερ κλάδον Γοβδελαᾶ, ἐξ ἀγριελαίας, πρός πίστιν θείαν συνήρμοσεν, ἀρρήτοις ἐπομβρίαις,ἐπαρδεύων σε μάκαρ, καλλιέλαιον Μάρτυρα ἔδειξεν.

Τόν σκορπισμόν, σώματος λώρων ἀφαίρεσιν, ἀπτοήτως, Γοβδελαᾶ ἔφερες·τόν γάρ Χριστόν εἶχες βοηθόν, Θεόν θείῳ σθένει, τό ἀσθενές σου ῥωννύοντα, καί ὑγιῆ δεικνύοντά, σε ὡς πρότερον Μάρτυς, βεβαιοῦντα αὐτοῦ τήν Θεότητα.

Θεοτοκίον.

Βάτον Μωσῆς, καί ὁ Δαβίδ πόλιν ἔμψυχον, θείαν στάμνον, κιβωτόν καί τράπεζαν, τοῦ ζῶντος ἄρτου συμβολικῶς, οἱ σεπτοί Προφῆται, Παρθένε σέ προκατήγγειλαν, ἡμεῖς δέ Θεοτόκον, ἀληθῶς καί κυρίως, ὀρθοδόξως φρονοῦντές σε μέλπομεν.

Ὠδή ε΄. Ἵνα τί μέ ἀπώσω.

Τήν τερπνήν θεωρίαν, νοΐ φανταζόμενος καί τήν λαμπρότητα, τήν τοῦ Παραδείσου, οὐκ ᾐσθάνου Γοβδελαᾶ σῷ σώματι, τῶν πλευρῶν τάς ξέσεις, τούς ῥαβδισμούς καί τάς βασάνους, Ἀθλοφόρε Μαρτύρων ἀγλάϊσμα.

Ἀπό σοῦ ἐμακρύνθην, Κύριε Φιλάνθρωπε ἐγώ ὁ ἄσωτος, ἁμαρτίαν πᾶσαν, ἐκτελέσας εἰς θάνατον ὕπνωσα, ἀλλ' ἀνάστησόν με, Γοβδελαᾶ ταῖς ἱκεσίαις, μετανοίας παρέχων μοι δάκρυα.

Οἱ κρουνοί σῶν αἱμάτων,Γοβδελαᾶ ἔσβεσαν πλάνης τούς ἄνθρακας, σταλαγμοί δέ τούτων,ἐθεράπευον πάθη ἀνίατα, ῥῶσιν ἐχορήγουν, καί ἐμαρτύρουν τῶν δεσμίων, αἱ πληγαί ἰαθεῖσαι σῇ χάριτι.

Ἐν φρουρᾷ συγκλεισθέντι,ὤφθη οὐρανόθεν σοι Κυρίου Ἄγγελος, Γοβδελαᾶ ἐξαίρων, Ἀθλητά γενναιόφρον πολύαθλε, ἐκ τῶν ἀκοῶν σου, τόν πεφλεγμένον ὀβελίσκον, τάς φρικτάς σου ὀδύνας ἰώμενος.

Θεοτοκίον.

Ἡ Παρθένος παρθένον, σάρκα ἐχορήγησε Θεῷ τῷ Πρύτανι, ἀψευδής μέν γλώσσῃ, ἀμιγής δέ τῷ σώματι πέλουσα, τόν διαφθαρέντα, Ἀδάμ ἀντ' Εὔας ἀναπλάττει, ἀποδοῦσα τό χρέος πληρέστατα.

Ὠδή ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Μανέντες οἱ δυσσεβεῖς, εἰς ὕψος σέ ἀπηώρησαν, καί ὤμους σου Γοβδελαᾶ, ὀγκίνοις προσπήξαντες, ἔσπευδον χωρῆσαί σε, τῆς Χριστοῦ ἀγάπης, ἀλλ' εἰς μάτην ἐκοπίασαν.

'Ακαταπλήκτῳ ψυχῇ, Γοβδελαᾶ μάρτυς ἤνεγκας,τραχήλου καί κεφαλῆς, δορᾶς τήν ἀφαίρεσιν, ὀδόντων ἐκρίζωσιν, καί ὀνύχων πλήξας, κραταιῶς τόν κοσμοκράτορα.

'Εν πέτρᾳ τῇ ἀῤῥαγεῖ,Χριστός τῆς ὁμολογίας σου, Πολύτλα Γοβδελαᾶ, τήν πίστιν στηρίζων σου, φοβερόν σε ἔδειξε,τοῖς ὑπεναντίοις, καί νοσοῦσι θεῖον φάρμακον.

Θεοτοκίον.

Παράδεισος νοητός,ἐδείχθης Κόρη πανάσπιλε, καί ῥίζα τοῦ τῆς ζωῆς, ξύλου θεοφύτευτος· Χριστόν γάρ ἐβλάστησας, τόν ζωοποιοῦντα, τούς θανόντας δρακοντείῳ ἰῷ.

Κοντάκιον. Ἦχος δ΄. 'Επεφάνης σήμερον.

Τῶν Περσῶν φρυάγματα, κατεπατήθη, τῇ στεῤῥᾷ ἐνστάσει σου, Γοβδελαᾶ καρτερικέ· καί γάρ ἀνδρείως ὑπήνεγκας, τοῦ σοῦ πατρός, δεινά κολαστήρια.

'Ο Οἶκος.

Τίς ἱκανός λαλῆσαι, καί ποίου στόματος γλῶσσα δύναται ἐξειπεῖν τά σά γενναῖα παλαίσματα, ἅπερ προστάξει τοῦ Σαβωρίου βασιλέως τοῦ σοῦ πατρός,παρά πολλῶν καί διαφόρων Τυράννων καί Δικαστῶν καθυπήνεγκας; οἵτινές σοι τῷ πολυάθλῳ καί ἀνδρείῳ Γοβδελαᾷ, ἐνεδείξαντο πᾶσαν πεῖραν βασάνων· ἀλλ'αὐτός ἄνω τό τῆς ψυχῆς ὄμμα ἔχων, τάς τοιαύτας τιμωρίας, ἅς περ ὑπέμεινας εἰς οὐδέν λογισάμενος, μᾶλλον τρυφήν οὐράνιον ἡγήσω.

Διό κἀγώ εἰ καί ἀνάξιος τυγχάνω, σοῦ δέομαι, ἱκετεῦσαι τοῦ δωρηθῆναί μοι, τῷ σῷ βεβήλῳ οἰκέτῃ, ὑπομονήν, καί διάκρισιν, ὅπως φύγω τάς δολίους παγίδας τῶν δαιμόνων, καί τύχω τῆς οὐρανίου δόξης, σύν σοί τῷ νικήσαντι, τά τοῦ σοῦ πατρός δεινά κολαστήρια.

Συναξάριον.

Τῇ ΚΘ΄ Σεπτεμβρίου, Μνήμη τῶν Ἁγίων Μεγαλομαρτύρων Δάδα, καί Γοβδελαᾶ, υἱοῦ Σαβωρίου Βασιλέως Περσῶν.

Στίχ. Ξίφει μεληδόν σῶμα πᾶν τετμημένος,
Τό πνεῦμα σῴζεις, Μάρτυς Ὑψίστου Δάδα.
Στίχ. Ὁ Γοβδελαᾶς πείρεται τοῖς καλάμοις,
Τόν καλάμῳ τυφθέντα Χριστόν μου σέβων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Κασδόου καί Κασδόας.

Στίχ. Ἀθλοῦσιν ἄμφω Κασδόος καί Κασδόα,
Ὁ μέν σπαθισθείς, ἡ δέ θλασθεῖσα ξύλῳ.

Τά λοιπά τοῦ Συναξαριστοῦ ἐκ τοῦ Μηναίου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ΄. Θεοῦ συγκατάβασιν.

Χρυσοῦ τιμιώτερος, τρισμάκαρ ὤφθης δοκιμασθείς ἐν πυρί, τῶν βασάνων πολλάκις,ἐν ὕδασί τε πολυειδῶν πειρασμῶν, Παθῶν ἀχράντων σφραγίδα δεξάμενος, Γοβδελαᾶ ζῇς ἐν ᾧ,οἱ θησαυροί τῆς ζωῆς.

Σκορπίσαι τά μέλη μου, ἠπείλησάς μοι ὦ υἱοκτόνε πατήρ, μή βραδύνῃς τῷ ξίφει,σφάττειν ἐβόας Μάρτυς Χριστοῦ Γοβδελαᾶ. Ἐγώ λατρεύειν Θεῷ ζῶντι ἔγνωκα, καί οὐ ξοάνοις νεκροῖς, καί ψευδωνύμοις θεοῖς.

Ἀγγέλους κατέπληξας, τῇ καρτερίᾳ τῇ σῇ στεῤῥέ Ἀθλητά! ἀφορήτους αἰκίας, φέρων γενναίως, καί ὥσπερ πάλαι Σαμψών, σαρκί ἀσάρκῳ θηρί συμπλεκόμενος, τάς σιαγόνας αὐτοῦ,ἤγξας ῥυσθείς πειρασμῶν.

Ὁρῶν σε ἀήττητον, Χριστοῦ τῇ πίστει μάκαρ ὁ Τύραννος, εἰς κοχλίαν τεκτόνων, ἀνηλεῶς σε γυμνόν κατέκλεισε, ξέων καί φλέγων μασχάλας καί πόδας σου· σύ δέ ὡς πύργος στεῤῥός, οὐκ ἐσαλεύθης τόν νοῦν.

Τόν πρίν λύκον Γάργαλον,ληστήν καί μάγον λόγοις σου Γοβδελαᾶ,μετεσκεύασας ἄρνα,θυσιασθῆναι ὑπέρ ἀγάπης Χριστοῦ, καί εἰσαχθῆναι εἰς μάνδραν οὐράνιον,ἐπί νομάς ζωηράς,τοῦτον ὡδήγησας.

Θεοτοκίον.

Νεᾶνις ἀπείρανδρος, ἐδείχθη Μήτηρ τοῦ ἀπροσίτου Φωτός· τόν γάρ Ἄναρχον Λόγον, τόν ἐκ Πατρός ἀχρόνως ἐκλάμψαντα, ἀδιαφθόρως ἐν χρόνῳ ἐκύησε, λυτρωσαμένη ἡμᾶς, τῆς ἀρχεγόνου ἀρᾶς.

Ὠδή η΄. Ἑπταπλασίως κάμινον.

Ἰχνηλατήσας ἔνδοξε, Πάθη κοσμοσωτήρια, ξύλῳ ἀνηρτήθης τοξευθείς τοῖς βέλεσιν, ἀλλ᾽ ἄτρωτος ἔμεινας, τά κατά σοῦ πεμπόμενα δέ, βέλη ἐν ἀέρι ἀπῃώρυντο θάμβει, ἕν δέ αὐτῶν ἀντιστρέψαν, τοῦ Γαργάλου τό ὄμμα, ἐξώρυξε δεικνύον, Θεοῦ τήν δυναστείαν.

Δυνατωτέραν κέκτησαι, τοῦ πυρός τήν ἰσχύν Γοβδελαᾶ, καί τόν θεῖον πόθον τῆς φλογός θερμότερον· διό καρτερόψυχε,εἰ καί ἐπέβης ἔνδον χαλκοῦ, μετά θειαφίου καλαμίων καί πίσσης, ἀλλ᾽ ἄφλεκτος ἐξῆλθες,ὥσπερ πάλαι οἱ Παῖδες, Χριστόν τόν σώζοντά σε, δοξάζων εἰς αἰῶνας.

Προβιβασθεῖσα πρότερον, πατρικαῖς παραινέσεσιν, ἡ σή ἀδελφή Γοβδελαᾶ προσῆλθέ σοι, θαῤῥοῦσα τήν ἔφεσιν,τήν πρός Θεόν ἐκλῦσαί σου,ἡ δέ νικηθεῖσα τοῖς σοῖς λόγοις ἐθέλχθη, τῷ Κτίστῃ νυμφευθῆναι,διά τοῦ μαρτυρίου, καί μετά σοῦ δοξάζειν, Χριστόν εἰς τούς αἰῶνας.

Ἐκ τοῦ Ὑψίστου δύναμις, Γοβδελαᾶ σέ ἐνίσχυσε, φέρειν τοῦ δεινοῦ πατρός σου τήν ἀπήνειαν, τῶν ἵππων λακτίσματα, τά τῶν σουβλῶν κεντήματα, καί τάς ἐκ τῆς ἐκδορᾶς τοῦ δέρματος ὀδύνας, βοῶντα Ἀθλοφόρε· Ἱερεῖς εὐλογεῖτε, λαός ὑπερυψοῦτε, Χριστόν εἰς τούς αἰῶνας.

Καρτερικῶς ὑπήνεγκας, καί γενναίως νενίκηκας, τούς δυσφοροτάτους αἰκισμούς Μυρίαθλε· διό ὡς ἀήττητον,ὁ Βασιλεύς τῆς δόξης Χριστός, ἦρεν ἐκ τῆς γῆς λαμπρῷ στεφάνῳ κοσμήσας, χοροῖς συναριθμῶν σε, τῶν ἁγίων Μαρτύρων, ὁρᾶν αὐτοῦ τό κάλλος, εἰς πάντας τούς αἰῶνας.

Θεοτοκίον.

Τάς ἐμπαθεῖς κινήσεις μου, τῇ ἀγρύπνῳ πρεσβείᾳ σου,κοίμισον Παρθένε Θεοτόκε δέομαι, φθορᾶς ῥυομένη με, τῶν ἀλαστόρων καί πειρασμῶν, τήν ἐλεεινήν καθοδηγοῦσα ψυχήν μου, πρός τρίβον μετανοίας· ἐπί σοί γάρ προστρέχω· διό μή με παρίδῃς, εἰς τέλος ἀπολέσαι.

ᾨδή θ΄. Ἐξέστη ἐπί τούτῳ ὁ οὐρανός.

Στρεβλοῦντες ἀπανθρώπως χεῖρας τάς σάς,Γοβδελαᾶ ἐν τοῖς ξύλοις καθήλωσαν, οἱ δυσσεβεῖς, ἀναγκάζοντές σε πυρσολατρεῖν, σύ δέ Θεόν ἱκέτευες, βάπτισμα τό θεῖον ἐπιζητῶν· ὅθεν διά νεφέλης, ὑδατελαιοῤῥύτου, φωνή Κυρίου σέ ἐβάπτισεν.

Ὡς ἄκακον ἀρνίον Μάρτυς Χριστοῦ, μιαιφόνων χερσί τεθανάτωσαι, μέλη σαρκός, ὀξέσι καλάμοις ἐκκεντηθείς, παρέθου ἐπευχόμενος,τήν ψυχήν εἰς χεῖρας ζῶντος Θεοῦ· διό ὁ οὐρανός σοι, ἠνοίγη καί ἡ θεία, χώρα τῶν ζώντων σε ἐδέξατο.

Ὡς ἄλλος ἀπεφάνθης Γοβδελαᾶ, οὐρανός τοῖς πρακτέοις ὡς ἄστρασιν, ἄθλοις τοῖς σοῖς, κατηγλαϊσμένος δύνας εἰς γῆν, ἀλλά πρωΐ ἀνέτειλας, φέρων ὥσπερ ἥλιον τόν Χριστόν, λαμπρύνων ὡς σελήνην,τήν ἱεράν ψυχήν σου,καί καταυγάζων τούς ὑμνοῦντάς σε.

Μετέστης ἔνθα ἦχος ὁ καθαρός, καί φωνή ἀνεκφράστου τερπνότητος, Γοβδελαᾶ, τῷ ἀστέκτῳ θρόνῳ παρεστηκώς, καί τῶν μακρῶν ἀγώνων σου,ἐκ Θεοῦ λαμβάνεις τάς ἀμοιβάς, ἀπαύστως ἱκετεύων, ἀφέσεως πταισμάτων, ἀξιωθῆναι τούς τιμῶντάς σε.

Θεοτοκίον.

Τῷ πόθῳ τετρωμένος τοῦ σοῦ Υἱοῦ,ὑπέρ τούτου Παρθένε προσέδραμε, Γοβδελαᾶς, τό θανεῖν προκρίνας μᾶλλον τοῦ ζῆν, Ὅθεν αὐτόν ἐκήρυττεν, ἔναντι Τυράννων καί Δικαστῶν, Θεόν σεσαρκωμένον, ἄνευ σπορᾶς τεχθέντα, ἐκ σοῦ τῆς μόνης Θεομήτορος.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθομεν.

Γοβδελαᾶν ὑμνήσωμεν, τόν υἱόν βασιλέως, πίστιν Χριστοῦ τηρήσαντα,ἔναντι βασιλέων, λαθεῖν θελόντων τήν δόξαν, Θεοῦ Παμβασιλέως, θελήσει ὑπομείναντος, δι' ἡμᾶς Σταυροῦ Πάθη, καί τήν Ταφήν, καί ἁγίαν Ἄνοδον, τοῦ διδόναι, τοῖς πίστει ταῦτα σέβουσι, οὐρανῶν Βασιλείαν.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τόν νοερόν ἀδάμαντα, καί πίστεως ὑπέρμαχον, τόν ἄριστον στρατιώτην,Χριστοῦ τοῦ Παμβασιλέως, Γοβδελαᾶν τόν ἔνδοξον, πιστῶς ἀνευφημήσωμεν· ἀθλήσας γάρ στεῤῥότατα, ὑπέρ τοῦ κόσμου ἀπαύστως, ἐξιλεοῦται τό θεῖον.

Θεοτοκίον.

Κυρίως Θεοτόκον σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διά σοῦ σεσωσμένοι· καί γάρ Θεόν ἀποῤῥήτως, ἐκύησας τόν λύσαντα, διά Σταυροῦ τόν θάνατον, πρός δ' ἑαυτόν ἑλκύσαντα, Ἁγίων δήμους· μεθ' ὧν σε ἀνευφημοῦμεν Παρθένε.

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ', καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ἔδωκας Φιλάνθρωπε, τῷ Ἀθλητῇ σου τήν δύναμιν,τοῦ νικῆσαι τόν Τύραννον, Σαβώριον Ἄνακτα, Περσῶν πυρολάτρην, καί καταπατῆσαι, τά κολαστήρια· νῦν δέ, ὡς νικηφόρον χειρί σου ἔστεψας, Γοβδελαᾶν τόν μάρτυρα, κληρονομίαν δωρούμενος,τήν τρυφήν τήν αἰώνιον, βασιλείας σου Κύριε.

Κατακεντηθῆναί σου, ἅπαν τό σῶμα Πολύαθλε, Γοβδελαᾶ ὁ ἀπάνθρωπος, Γάργαλος προσέταξεν, ὀξέσι καλάμοις, ἐπί πολλάς ὥρας, ἐκ κεφαλῆς μέχρι ποδῶν, καί ἐκδαρῆναι ἅπαν τό δέρμα σου, ἀλλ' ἔστης καρτερώτατος, τρήσεων ἄλγει τρυχόμενος, ἱκετεύων τόν Κύριον, σέ λαβεῖν εἰς ἀπόλαυσιν.

Ὡς εἶδον τό σῶμά σου, Γοβδελαᾶ σπαραττόμενον, τοῖς βασάνοις οἱ δήμιοι,Μάρτυς οὐκ ἠρκέσθησαν· ἀλλά τούς σούς πόδας, δεσμεύσαντες ἵπποις, τῇ τοῦ Γαργάλου προσταγῇ, τόποις πετρώδεσι περιέσυρον, ὅπως ἐν γῇ αἱ σάρκες σου, λεπτά εἰς τμήματα γένωνται, ἅ πιστοί συνελέξαντο,εἰς αὐτῶν ἀπολύτρωσιν.

Δαδιής Ἀρμαζαδάκ, καί Αὐδιής οἱ πρεσβύτεροι, τά κοπέντα ἀθροίσαντες, μέλη σου Πολύαθλε, σινδόνι καί μύροις, εἰλήσαντες πίστει, Γοβδελαᾶ ἐκήδευσαν,στάσιν παννύχιον ἐκτελοῦντές σοι· Σύ δ' ὤφθης μετά θάνατον, μέσον αὐτῶν ἐπευχόμενος, τόν μισθόν ἀπολήψασθαι, ἐκ χειρός τοῦ Κυρίου σου.

Δόξα. Ἦχος πλ. δ΄.

Μάγοι Περσῶν δῶρα, χρυσόν καί λίβανον καί σμύρναν, προσήνεγκαν Χριστῷ τῷ 'Αθανάτῳ Βασιλεῖ,καί Θεῷ ἡμῶν ἐν τῇ αὐτοῦ Γεννήσει· **Σύ** δέ Πολύτλα Γοβδελαᾶ, ὡς μιμητής ἐκείνων, μετά τήν αὐτοῦ 'Ανάστασιν, ψυχήν αἷμα καί στέμμα αὐτῷ ἐθυσίασας διά πολλῶν βασάνων. Τό μέν αἷμα ὡς Θεῷ, τό δέ στέμμα ὡς Βασιλεῖ, καί τήν ψυχήν ὡς 'Αθανάτῳ.Ὦ πρέσβευε σωθῆναι, τούς σέ πιστῶς ἑορτάζοντας.

Καί νῦν. Θεοτοκίον.

**Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικά, οἱ** Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή.

Ὁ 'Απόστολος. Πρός Τιμόθεον β΄ 'Επιστολῆς Παύλου.

Τέκνον Τιμόθεε... (Ζήτει κς΄ 'Οκτωβρίου.)

Εὐαγγέλιον. 'Εκ τοῦ κατά Ματθαῖον.

Εἶπεν ὁ Κύριος· 'Ιδού ἐγώ ἀποστέλλω ὑμᾶς...

(Ζήτει ιε΄ Σεπτεμβρίου.)

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...